# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: pmi-ad

*Μᾶρκος Κορνήλιος Φρόντων ὁ Ῥήτωρ* · Fronto the Rhetorician

## To Friends

*Πρὸς Φίλους*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Κοινή* Koine
**Domain:** *Ῥητορική* Oratory
**Format:** *Λόγος* Oration

2.1 ΦΡΟΝΤΩΝ ΑΠ. ΑΠΟΛΛΩΝΙΔΗΙ .

2.1 Κορνηλιανὸν Σουλπίκιον φιλεῖν ἠρξάμην ἡσθε/ὶς τῷ τε τρόπῳ τἀνδρὸς καὶ τοῖς λόγοις· πέφυκεν γὰρ πρὸς λόγους ἄριστα. οὐκ ἂν δὲ ἔξαρνος εἴην τὰ πρῶτα παρ’ ἐμοὶ φέρεσθαι τὴν ἐκ παιδείας φιλίαν συσταθεῖσαν· παιδείαν δὲ ταύτην λέγω τὴν τῶν ῥητόρων· αὕτη γὰρ δοκεῖ μοι ἀνθρωπίνη τις εἶναι· τῶν φιλοσόφων θεία τις ἔστω. βοήθησον οὖν τὰ δυνατὰ Κορνη λιανῷ ἀγαθῷ ἀνδρὶ κἀμοὶ φίλῳ καὶ 〈λογίῳ〉 καὶ οὐ φιλοσόφῳ.